UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

Isidorus <Pelusiota>

Parisiis, 1585

Hieraci clarißimo. 392.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

ter exponendum eſt. Lubentiùs ego, cùm de omnibus bene meritus eſſem, tanquam qui iniuria omnes affeciſſem, pœnas darem, quàm cùm vnum læſiſſem, tanquam de omnibus bene meritus, corona donarer ac prædicarer.

Eidem. 391.

Quid eſt, inquis, quod de cæleſtibus luminaribus dictum eſt, Quæ tribuit Dominus Deus tuus omnibus nationibus? Audi igitur. Ad doctrinam & inſtitutionem ac cognitionem ea tribuit, vt ex rerum conditarum magnitudine ac pulchritudine Creator, qui oculis cerni non poteſt, conſpiciatur. Hoc autẽ idcirco dixit, quoniam Hebræis vnà cum rerum creatione Legis quoque doctrina data eſt, artificem & architectũ prædicans & cõcelebrans. Quòd ſi quidam ideò tributa ea eſſe putent, vt ipſis adorationem adhibeant, inſcitiam ſuam perſpicuè produnt: quippe cùm vniuerſa Scriptura ſacra eos, qui hoc facere auſi ſunt, accuſet, atque acerrimè reprehendat.

Hieraci clariſſimo. 392.

Non paruum, vir optime, verùm quantum maximum edi poteſt, virtutis indiciũ exhibes, qui bonam potiùs famam colligere, quàm ingentes opes cumulare in animum induxeris. Quamobrem ſi in hac ſententia perſtiteris, nõ defuturi ſunt, qui te laudibus vehant, ac prudentiam tuam ad omnes mortales perferant.

Harpocræ ſophiſtæ. 393.

Qui ſermonis facultatẽ improbãt, nõ eſt obſcurũ quin inſcitiæ ſuæ ac infantiæ probrum in eam deriuare audeant. Qui autẽ eam probant, cùm veritatis patrocinium ſuſcipit, vituperant autem, cùm improbitati operam nauat, hi nimirum & humanæ naturæ nobilitatem, vt quæ ſermone donata ſit, cognitam atque perſpectam

συντόμως λεκτέον. ἥδιστα ἂν πάντας εὐεργετήσας, ὡς πάντας ἀδικήσας, δοίην δίκην, ἢ ἀδικήσας τινὰ, ὡς πάντας εὐεργετήσας, στεφανωθείην καὶ ἀναῤῥηθείην.

Τῷ αὐτῷ. τϟα.

Τί ἐστιν, ἔφης, τὸ περὶ τῶν οὐρανίων φωστήρων εἰρημένον, ἃ ἀπένειμε κύριος ὁ θεός σου πᾶσι τοῖς ἔθνεσιν. ἄκουε τοίνυν, ἀπένειμε πρὸς διδασκαλίαν, πρὸς παίδευσιν, πρὸς γνῶσιν, ἵν' ἐκ τοῦ μεγέθους, καὶ τῆς καλλονῆς τῶν κτισμάτων ὁ γενεσιουργὸς ἀόρατος ὢν, θεωρῆται. τοῦτο δὲ ἔφη, ἐπειδὴ τοῖς ἑβραίοις μετὰ τῆς κτίσεως καὶ ἡ τοῦ νόμου διδασκαλία ἐδόθη, ἀνακηρύττουσα τὸν δημιουργὸν καὶ τεχνίτην. εἰ δέ τινες οἴονται ἀπονενεμῆσθαι πρὸς τὸ προσκυνῆσαι αὐτοῖς, λαμπρῶς τὴν οἰκείαν ἀπαιδευσίαν στηλιτεύουσι, πάσης τῆς ἱερᾶς γραφῆς αἰτιωμένης, καὶ καταφορικῶς κατηγορούσης τῶν τοῦτο ποιῆσαι τολμησάντων.

Ἱέρακι λαμπροτάτῳ. τϟβ.

Ἀρετῆς σημεῖον οὐ μικρὸν, ὦ ἄριστε, ἀλλ' ὡς δυνατὸν καὶ μέγιστον ἐκφέρεις, προῃρημένος δόξαν καλὴν κτήσασθαι μᾶλλον ἢ πλοῦτον μέγαν συναγαγεῖν. ὥστε ἂν ἐμμείνῃς ταύτῃ τῇ γνώμῃ, οὐκ ἀπορήσεις τῶν ἐγκωμιασομένων, καὶ πᾶσιν ἀνθρώποις τὴν σὴν φρόνησιν ἀγόντων.

Ἁρποκρᾷ σοφιστῇ. τϟγ.

Οἱ τὰς τῶν λόγων δυνάμεις ἀποδοκιμάζοντες, οὐ λανθάνουσι τὸ τῆς οἰκείας ἀλογίας ὄνειδος ἐπὶ ταύτας μεταφέρειν τολμῶντες. οἱ δὲ ταύτας ἀποδεχόμενοι μὲν, ὅταν τῇ ἀληθείᾳ συναγωνίζοιντο. κακίζοντος δὲ ὅταν τῇ κακίᾳ συμπράττοιεν. οὗτοι καὶ τὴν τῆς ἀνθρωπότητος εὐγένειαν ἴσασιν ὅτι λόγῳ τε-